# TEZAUR LITURGIC

## 31 MAI

ISIDORA AGHIROTITISSA

# PARACLISUL SF.MUCENIȚE PETRONELA DE LA ROMA

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 31 ΜΑΪΟΣ
# ΠΕΤΡΟΝΙΛΛΑ ΑΓΙΑ
# ΠΑΡΑΚΛΗΣΙΣ

## Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῶν ἱερῶν θησαυρισμάτων τὸν πλοῦτον, τῶν οὐρανίων δωρεῶν τε ταμεῖον, τῶν ἀρετῶν τὸ σκήνωμα, τὸ σκεῦος Θεοῦ, λύχνον τὸν ἐκφαίνοντα, ἱλαρότητος κάλλος, πάνσεμνον εὐπρέπειαν, γυναικῶν τῶν τιμίων, Βηθσαϊδὰ ἐκ πόλεως τὸ φῶς, τὴν Πετρονίλαν, πιστῶς μακαρίσωμεν.

*Δόξα.*

Ἡ εὐκλεὴς τῶν Ἀποστόλων χορεία, τῇ ἱερᾷ σου ἐπαγάλλεται μνήμῃ, ὦ Πετρονίλα πέφυκας, θυγάτηρ καὶ γάρ, Πέτρου τοῦ θεόφρονος, καὶ ἐξέχοντος τούτων, ὦ συνάμα πρέσβευε, τῷ Θεῷ τῷ Ἁγίῳ· τοῦ στερεῶσαι πόδας τῶν πιστῶν, ἐπὶ τὴν πέτραν, αὐτοῦ τὴν ἀσάλευτον.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ποίαις ᾠδαῖς, αἰνέσω σε, Ἁγία Πετρονίλα; Ἰσιδώρας.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Πατρίς σου ἡ πόλις Βηθσαϊδά, ἐνθέως καυχᾶται, Πετρονίλα τῇ σῇ τιμῇ, Ἐδέμ τε Μονή σου ἡ ἁγία, τῇ παρουσίᾳ τῇ σῇ ἐπαγάλλεται.

Οὐράνιον ἔσχες διαγωγήν, Ἀγγέλων τὰς τάξεις, ἐν σπουδῇ σου ἐπαινετῇ, ἐζήλωσας θεία Πετρονίλα· ὅθεν αὐτοῖς συναρίθμιος γέγονας.

Ἰδὼν Πετρονίλα σὸς ἐραστής, Χριστὸς τῆς ψυχῆς σου, τῆς ἁγίας τὸ εὐγενές, εὐθύτητα ἅμα τῆς σῆς γνώμης, ἐν ἀγαθοῖς τὴν πορείαν σου ηὔθυνεν.

Ἁπλότητος γέγονας χαρακτήρ, τῆς πίστεως ἅμα, Πετρονίλα θεία εἰκών, ἠθῶν τε ἀμέμπτων τελειότης· καὶ τῆς ἀγάπης Χριστοῦ ἐνδιαίτημα.

*Θεοτοκίον.*

Ἰδοὺ Σὲ ἀνθρώπων αἱ γενεαί, Παρθένε ὡς ἔφης, μακαρίζουσι Μαριάμ, Θεὸς γὰρ τῶν ὅλων ὁ Δεσπότης, Σοὶ μεγαλεῖα ἐποίησεν ἄῤῥητα.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Σωφροσύνης ἐγένου περιφανὲς ἔσοπτρον, τῆς δικαιοσύνης σφραγίς τε, οὐρανοχάρακτος, τῆς συμπαθείας κανών, καὶ τῆς βεβαίας ἐλπίδος, Πετρονίλα γνώρισμα, θεοειδέστατον.

Ὡς ὡραῖοι σοὶ πόδες οἱ τὴν ὁδὸν τρέξαντες, τοῦ Εὐαγγελίου τοῦ θείου, ἐν προθυμότητι, ἑτοιμασθεῖσα καὶ γάρ, ὦ Πετρονίλα τιμία, τοῦ Χριστοῦ ἐβάδισας, τοῖς παραγγέλμασιν.

Δουλικῶς τὸ σὸν γόνυ τῷ Βασιλεῖ ἔκλινας, θεία Πετρονίλα καὶ τούτῳ, σέβας προσένειμας, συμπροσκυνοῦσα πιστῶς, τὸ παντοδύναμον κράτος, τῆς μιᾶς Θεότητος, καὶ Κυριότητος.

Ἀσυνέτων ὑπάρχεις διηνεκὴς ἔλεγχος, τῶν πεπλανημένων πυξίς τε εἰς τὴν ἀλήθειαν, καθοδηγοῦσα ἀεί, ὦ Πετρονίλα Ἁγία, τοὺς πιστῶς τιμῶντάς σου, τὰ προτερήματα.

*Θεοτοκίον.*

Ἰησοῦν τὸν Σωτῆρα καὶ Λυτρωτὴν τέτοκας, μόνη Παναγία Παρθένε, ἄνευ συλλήψεως, τὸν εὐσπλαγχνίᾳ πολλῇ, ἡμῶν τὰ ἄστατα πάθη, εὐμενῶς ἰώμενον, σθένει θεότητος.

Στερέωσον, ἡμῶν τοὺς πόδας τῆς πίστεως ἐν τῇ πέτρᾳ, καὶ ἀπτώτως ὁμολογεῖν αὐτὴν ἡμᾶς δίδαξον, ὡς στέρξασα ταύτην ὦ Πετρονίλα

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἀγάπης Θεοῦ τὸ μέγα περιήχημα, τῆς θείας σπουδῆς, τὸν λύχνον τὸν ὑπέρφωτον, τῶν ἠθῶν κειμήλιον, τῆς ἀμέμπτου πράξεως γνώρισμα, τὴν Πετρονίλαν ᾄσωμεν πιστοί, τοῦ Πέτρου τὴν κόρην τὴν πανεύφημον.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Σελασφόροις σου λάμψεσι, τὸ τῆς Ἐκκλησίας εὐφραίνεις πρόσωπον, Πετρονίλα παμμακάριστε, καὶ πιστῶν φωτίζεις τὰ πληρώματα.

Ἀγγελότροπον βίον σου, θεία Πετρονίλα ἐγκωμιάζομεν· καὶ τῆς δόξης σου τὰ ἔπαθλα, ἐν ᾠδαῖς ᾀσμάτων μεγαλύνομεν.

Ἰουδαία ἀγάλλεται, καὶ Βηθσαϊδὰ πατρίς σου σὺν ταύτῃ τέρπεται, τούτων πέλεις γὰρ ἀγλάϊσμα, Πετρονίλα κόρη πολυσέβαστε.

Νουνεχῶς ἐμελέτησας, νόμον Πετρονίλα Θεοῦ τὸ ἅγιον, καὶ σοφῇ ἐπιμελείᾳ σου, τοῦτον ἔργον βίου σου ἐποίησας.

*Θεοτοκίον.*

Ἐν κοιλίᾳ Σου πάναγνε, ὁ Υἱὸς καὶ Λόγος Θεοῦ ἐσκήνωσε, ἵνα πάλιν εἰς σκηνώματα, Παραδείσου πάντες κατοικήσωμεν.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σάλον τῶν παθῶν, καὶ τὸν κλύδωνα διέφυγες, τῶν ἀμέτρων Πετρονίλα πειρασμῶν, εἰς τὴν εἰρήνην, τὴν τελείαν καταπαύσασα.

Ὢ! Τῶν ὑπὲρ νοῦν, Πετρονίλα χαρισμάτων σου, ὅτι σκεῦος ἐχρημάτισας Θεοῦ, καὶ εὐωδίαν, ἀναβλύζεις τὴν οὐράνιον.

Στέρξασα Θεοῦ, τὴν ἀγάπην τὴν σωτήριον, ἀπηρνήσω τὰ ἐπίγεια τερπνά, ὦ Πετρονίλα, καὶ ἐκτήσω τὰ αἰώνια.

Ἔπαρσιν ἐχθροῦ, ἀλαζόνος ἐταπείνωσας, ταπεινώσεως μαθοῦσα τὰς ἀρχάς, καὶ ταύτας ἔργῳ, Πετρονίλα ἐφαρμόσασα.

*Θεοτοκίον.*

Ἅρμα τοῦ Θεοῦ, Σὺ ἐγένου Μητροπάρθενε, ὑπεράνω στρατιῶν ἀγγελικῶν, Σαῖς γὰρ ἀγκάλαις, τὸν Θεάνθρωπον ἐβάστασας.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Γαλήνιον, εἰς λιμένα ἔφθασας, τῆς ἀγάπης τοῦ Θεοῦ Πετρονίλα· ὅθεν ψυχάς, καὶ ἡμῶν γαληνεύεις, τῶν ἐκτελούντων ἐν πίστει τὴν μνήμην σου· καὶ χαῖρέ σοι χαρμονικῶς, μελῳδούντων καρδίας ἐν χείλεσιν.

Ἰδέτωσαν, Πετρονίλα πάνσεμνε, τὴν σὴν δόξαν γυναικῶν αἱ χορεῖαι· καὶ ἐν χαρᾷ, εὐφρανθήτωσαν πᾶσαι, τοῖς δὲ σεπτοῖς σου ἑπόμεναι ἴχνεσιν· γενέσθωσαν ταῖς σαῖς εὐχαῖς, καθαρὰ τοῦ φωτὸς οἰκητήρια.

Ἀνέσεως, ἐν σκηναῖς κατώκησας, Πετρονίλα σὺν παρθένοις φρονίμοις, ὅτι στενήν, ἐν τῷ βίῳ σου τρίβον, καὶ τεθλιμμένην διέβης ἣν Κύριος, ὑπέδειξε εἰς ἀγαθά, ὁδηγοῦσα τὰ μὴ σαλευόμενα.

Πολίτευμα, Πετρονίλα ἤσκησας, τῶν Ἀγγέλων ἐν σαρκὶ ἔτι οὖσα, τὰς ἡδονάς, ἐλογίσω ὡς ὄναρ, καὶ ὡς σκιὰν καὶ χοὸς εὐτελέστερα· διὸ ἐμίσησας αὐτάς, καὶ προθύμως Θεῷ ἠκολούθησας.

*Θεοτοκίον.*

Ἐλεύθερος, ὁ Ἀδὰμ γεγένηται, διὰ Σοῦ Παρθενομῆτορ Μαρία, ἐκ γὰρ δεσμῶν, τῶν χρονίων ἐλύθη, καὶ τὴν ζωὴν τὴν αἰώνιον εὕρατο, Θεοῦ ἀφάτῳ δωρεᾷ, σαρκωθέντος ἐκ Σοῦ ὑπὲρ ἔννοιαν.

Στερέωσον, ἡμῶν τοὺς πόδας τῆς πίστεως ἐν τῇ πέτρᾳ, καὶ ἀπτώτως ὁμολογεῖν αὐτὴν ἡμᾶς δίδαξον, ὡς στέρξασα ταύτην ὦ Πετρονίλα

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Πετρονίλαν ἁγιοπρεπῶς μακαρίσωμεν, ἀριστείας τὰς διὰ Χριστὸν ταύτης στέψωμεν, πολιτείαν ἀγγελικὴν γὰρ ἔφθασε ἐν γῇ· αὐτὴν ᾄσμασιν αἰνετικοῖς, ἐγκωμιάσωμεν πιστοί, εὐλαβῶς ἀνακράζοντες· πρέσβευε τῷ Κυρίῳ, συνάμα πατρί σου Πέτρῳ, τῷ Ἀποστόλῳ ἐκτενῶς, ἡμῖν δοῦναι τὰ σωτήρια.

Προκείμενον: *Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.*

Στ.: *Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (κεφ. κε΄. 1- 13)*

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες

λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Δόξα: *Ταῖς τῆς Σῆς Ἁγίας...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Πόλις ἐπαγάλλεται, Βηθσαϊδὰ Πετρονίλα, μητρικήν σοι αἴνεσιν, καὶ χαρὰν ἑόρτιον σοὶ προσφέρουσα· σὸς πατὴρ ἅμα τε, ὁ θεόφρων Πέτρος, Ἀποστόλων ὁ ἐξαίρετος, ὁμοῦ ἀγάλλεται, καὶ πανηγυρίζει τῷ πνεύματι· Κυρίῳ γὰρ προσήγαγε, σὲ ὡς θυγατέρα καλλίπαιδα· τούτῳ οὖν συνάμα, πρεσβεύσατε ἀεὶ ὑπὲρ ἡμῶν, τοῦ διαμεῖναι ἀσάλευτοι, εἰς πέτραν τῆς πίστεως.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τῶν ταλάντων σου πλοῦτον μετὰ ζήλου ἐνθέου ὑπερεπλήθυνας, Ἁγία Πετρονίλα· διὸ καὶ τοὺς ἐπαίνους, ἐπαξίως ἐκέρδισας, ὡς ἀγαθὴ καὶ πιστή, θεράπαινα Κυρίου.

Ῥοδοβόλον παρέχεις εὐωδίαν τῷ κόσμῳ ἐν ἁγιότητι, τῆς σῆς σωφρονεστάτης, καὶ θείας πολιτείας, Πετρονίλα ἀοίδιμε· εἰς τῆς Ἐδὲμ τὰς σκηνάς, σεμνῶς ἀνθηφοροῦσα.

Ὀξυτάτη ὑπάρχει Πετρονίλα Ἁγία ἡ σὴ ἀντίληψις, τοῖς θλίψεσι τοῦ βίου, καὶ πάθεσι παντοίοις, κλονουμένοις ἑκάστοτε· ἡ δὲ πρεσβεία ἡ σή, πρὸς Κύριον μεγάλη.

Νουνεχῶς ἐκαρτέρεις ἐν Γραφῶν ταῖς μελέταις καὶ ταῖς δεήσεσι, ἀεὶ ἐπεντρυφῶσα, Ἁγία Πετρονίλα, τοῦ Θεοῦ τῷ ὀνόματι, τοῦ ἐν Ἁγίοις Αὐτοῦ, θαυμάσια ποιοῦντος.

*Θεοτοκίον.*

Ἱλαστήριον κόσμου ἱερόν τε καὶ μέγα ὑπάρχεις Δέσποινα, Παρθένε Παναγία, Θεῷ γὰρ τοὺς ἀνθρώπους, τῷ Σῷ τόκῳ κατήλλαξας, καὶ εὐμενείας Αὐτοῦ, ἐλάβομεν τὴν χάριν.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Λίαν εὐφραίνεις, τοὺς εὐσεβῶς σε τιμῶντας, καὶ πιστῶς τὴν σὴν μνήμην τελοῦντας, ὕμνοις ἑορτίοις, θεόφρον Πετρονίλα.

Ἀστράπτεις κόσμῳ, φωτοειδῶς Πετρονίλα, τῆς μεγάλης σου δόξης τῷ κάλλει, καὶ τῆς Ἐκκλησίας, τὸ πρόσωπον φαιδρύνεις.

Ἱερωτάτης, καὶ σεβασμίας ζωῆς σου, Πετρονίλα πῶς ᾄσω τὴν χάριν, ἢ τὰ μεγαλεῖα, τὰ σὰ πῶς μὴ θαυμάσω;

Σκεῦος ἐδείχθης, τῆς τοῦ Θεοῦ εὐλογίας, τὴν τοῦ Πνεύματος ἔχουσα χάριν, καὶ τὴν ὑπὲρ λόγον, εἰρήνην Πετρονίλα.

*Θεοτοκίον.*

Ἰδοὺ Σὲ πᾶσαι, αἱ γενεαὶ τῶν ἀνθρώπων, μακαρίζουσι Κόρη Παριένε, μόνη γὰρ ἐγένου, Θεοῦ ἁγίου Μήτηρ.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Διψῶσα ὥσπερ ἄλλη, ἔλαφος προσῆλθες, εἰς τῶν ἐνθεών ὑδάτων τὴν ζῶσαν πηγήν, ὢ Πετρονίλα καὶ δίψαν, ψυχῆς σου ἔσβεσας.

Ὡραῖόν σου τὸ κάλλος, πέλει Πετρονίλα, καὶ τῆς τιμῆς σου ἡ δόξα ὑπάρχει πολλή, ἐν εὐπρεπείᾳ χαρίτων ὑπεραστράπτουσα.

Ῥαδίως Πετρονίλα, τοῦ Εὐαγγελίου, τὴν τεθλιμμένην διῆλθες ἐν βίῳ ὁδόν, εἰς τὸν Παράδεισον ὅθεν, χαίρουσα ἔφθασας.

Ἀγάλλεται προφρόνως, χώρα Ἰουδαίας, Βηθσαϊδά τε πατρίς σου συμφώνως σκιρτᾷ, ὦ Πετρονίλα τιμία, τῇ πανηγύρει σου.

*Θεοτοκίον.*

Στερέωμα καὶ τεῖχος, φύλαξ τε καὶ σκέπη, καὶ φοβερὰ προστασία τοῦ κόσμου παντός, τῶν ἐν ταῖς ζάλαις λιμήν τε, Σὺ εἶ πανάχραντε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις εὐσεβείας ὑπογραμμός· χαίροις τῆς ἐλπίδος καὶ τῆς πίστεως ἡ εἰκών· χαίροις τῆς ἀγάπης, ἡ ἔνθεος ἀκρότης, Ἁγία Πετρονίλα θεομακάριστε.

ᾎσμασιν αἰνέσωμεν ἱεροῖς, μνήμην τὴν ἁγίαν, Πετρονίλας τῆς θυγατρός, Πέτρου τοῦ μεγάλου, ἐν θείοις Ἀποστόλοις, αὐτῆς τὰ μεγαλεῖα, ἐγκωμιάζοντες.

Ἵλεων ἀπέργασαι τὸν Κριτήν, σοῦ ταῖς ἱκεσίαις, Πετρονίλα ταῖς ἱεραῖς, ὅπως τοῦ ἐλέους, τὴν θείαν προσδοκίαν, χρηστῇ ἐν χορηγίᾳ, ἐπαπολαύσωμεν.

Ῥόδον Πετρονίλα ὡς ἱερόν, ἤνθησεν ἡ γῆ σε, τῆς ἐνδόξου Βηθσαϊδά, σοῦ δὲ τῇ καλλίστῃ, καὶ θείᾳ εὐωδίᾳ, σεμνύνεται ἡ κτίσις, καὶ ἐπαγάλλεται.

Ἔπαρσιν κατέῤῥαξας τοῦ ἐχθροῦ, θεία Πετρονίλα, σοῦ τοῖς τρόποις τοῖς ταπεινοῖς, καὶ τῇ ἀναβάσει, τῆς θείας σου πορείας, κατέλαβες τὰ ὕψη, τὰ ἐπουράνια.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή

ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Χαίροις, Πετρονίλα θαυμαστή, πίστεως ἁγίας ἡ πέτρα, ἡ ἀκραιφνὴς καὶ στεῤῥά, κάλλος ἐνθεώτατον, τῆς ἀγαθότητος, τῆς ἀγάπης βεβαίωσις, ἐλπίδος ἡ στάθμη, δῶρον εὐαπόδεκτον, τῆς τελειώσεως· χαίροις, γυναικῶν τῶν τιμίων, θεία καὶ λαμπρὰ κοσμιότης· χαίροις Παραδείσου ἡ εὐπρέπεια.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

